# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
# ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΓΕΩΡΓΙΟΝ

ΥΠΕΡ ΤΩΝ ΟΡΘΟΔΟΞΩΝ ΕΛΛΗΝΩΝ

ΚΑΙ ΑΛΛΩΝ ΤΩΝ ΟΝΤΩΝ ΕΝ ΤΗ ΞΕΝΗ

ΠΟΙΗΜΑ ΑΡΧΙΜΑΝΔΡΙΤΟΥ
ΙΩΗΛ ΦΡΑΓΚΑΚΟΥ




ΕΚΔΟΣΕΙΣ
ΕΝΟΡΙΑΣ ΑΓΙΟΥ ΓΕΩΡΓΙΟΥ
WIESBADEN-MAINZ
1997




Αγ. Γεωργιος Wiesbaden

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΜΕΓΑΛΟΜΑΡΤΥΡΑ ΓΕΩΡΓΙΟΝ

Υπέρ τῶν ὀρθοδόξων Ελλήνων καί ἄλλων τῶν ὄντων ἐν τῇ ξένῃ.

Ηχος Δ'. Ο ὑψωθείς ἐν τῷ σταυρῷ

Τόν στεφανίτην τοῦ Χριστοῦ τόν γενναῖον
καί καθαιρέτην ἀθείας εἰδώλων,
ἀπό καρδίας μέλψωμεν βοῶντες αὐτῷ
Ἅγιε Γεώργιε Καππαδόκων τό ἄνθος,
πάντας τούς πιστεύοντας Ὀρθοδόξων λιταῖς σου,
ἐν Γερμανία φύλαττε καλῶς,
ἵνα ρυσθῶσι κινδύνων καί θλίψεων.

Τό ἐκμαγεῖον Τριχερούσης Παρθένου
τό ἀποκείμενον ἐν χώρα τῶν Γότθων
ἐν τῷ Ναῷ τοῦ μάρτυρος Χριστοῦ τοῦ Θεοῦ
δεῦτε προσκυνήσωμεν οἱ Ορθόδοξοι πάντες
κράζοντες καί λέγοντες Θεοτόκε μή παύσῃ,
πρεσβευτικῶς παρέχουσα ἡμῖν τοῖς δεομένοις ψυχῶν τήν εἰρήνευσιν.

Ο Ν' καί ὁ κανών ου ἡ ἀκροστιχίς
Τούς ἐν τῇ ξένῃ φύλαττε μάρτυς Γεώργιε

Ωδή α'. Ηχος πλ.δ. Υγράν διοδεύσας

Τόν ἔνδοξον μάρτυρα τοῦ Χριστοῦ Γεώργιον πάντες, ἱκετεύσωμεν εὐλαβῶς
ὡς ἔχοντα ὄντως παρρησίαν, ἵνα ρυσθῶμεν κινδύνων καί θλίψεων.

Ὁρμήσας τῇ χάριτι τοῦ Χριστοῦ
ἐχθρόν παλαμναῖον ἐταπείνωσας ἀνδρικῶς,
ἡμᾶς ἐκ βελῶν τῶν πυριφλέκτων, τῶν δαιμονίων ἀτρώτους συντήρησον.

Ὑψόθεν Γεώργιε ἀθλητά, λαόν ἀποδήμων Ὀρθοδόξων Χριστιανῶν
πρεσβείαις ταῖς σαῖς μή διαλίπης, διαφυλάττων ἐκ πάσης κακώσεως.

Θεοτοκίον
Σημεῖον τῶν θείων σου δωρεῶν, ἡ τρίτη παλάμη ἐν εἰκόνι σου τῇ σεπτῇ
τυγχάνει ἁγνή Θογεννῆτορ, ὡς ποταμός ἀναβλύζουσα νάματα.

Ωδή γ. Ουρανίας ἀψίδος

Ἐγκαρδίως προστρέχων Θαυματουργέ ἅγιε
ἐν τῷ Ναῷ ἱκετεύω πρό τῆς εἰκόνος σου
τῆς φυλλαττούσης σεπτά ἐκ τῶν λειψάνων σου μέρη
ἵνα τύχω χάριτος τῆς σῆς Γεώργιε.

Νικητής ἀθλοφόρε ἀναδειχθείς ξόανα
τῶν γλυπτῶν θεῶν τοῦ Βελίαρ φροῦδας ἀπέδειξας
ὅθεν τερπνῶν ἡδονάς καί τῶν ματαίων ἰδέας
ἀφ᾽ ἡμῶν Γεώργιε τάχει ἀπέλασον

Τήν σήν ποίμνην ἐν χώρα Γερμανικῇ πάντοτε
ὡς τροπαιφόρος ὁπλίτης ἐκ τῶν αἱρέσεων
καί ἀλλοτρίου ζωῆς τῶν ἐντολῶν τοῦ Σωτῆρος
ἀσινῆ Γεώργιε μάρτυς διάσωζε.

Θεοτοκίον

Ἡ ἁγία εἰκών σου ὡς παμφαής ἥλιος
ἐν ἁγίῳ ὄρει φωτίζεις πιστῶν συστήματα
ἀλλά Πανάμωμε καί τό ἀντίγραφον ταύτης
ἐν τῇ ξένῃ κείμενον εὐφραίνει ἅπαντας.

Διάσωσον τροπαιοφόρε μεγαλομάρτυς Κυρίου
ἐκ πάσης βλάβης καί νόσων τούς δούλους σου
πρεσβείαις Γεώργιε καί λιταῖς σου.

Ἐπίβλεψον ἐν εὐμενεία Πανύμνητε Τριχεροῦσα
ἐπί τόν λαόν τόν ἀπόδημον καί προστάτευσον
αὐτόν ἐκ κινδύνων τῶν ἀδοκήτων.

Αἴτησις καί Κάθισμα

Ηχος Β. Πρεσβεία θερμή

Εἰκόνι τῇ σῇ Πανύμνητε Γεώργιε
προστρέχωμεν νῦν ρυσθείημεν πρεσβείαις σου,
τῆς βλάβης τοῦ ἀλάστορος καί βασάνων ψυχῆς τε καί σώματος,
ἐν Βαβυλῶνι γάρ ἀλλοδαπῇ οἰκοῦντες αἰτοῦμεν προστασία σου.

Ωδή Δ. Εισακήκοα Κύριε

Ξηρανθῆναι ἐλπίζομεν, ταῖς λιταῖς σου μάρτυς Χριστοῦ Γεώργιε,
τά ζιζάνια αἱρέσεων, ἐκ τῆς παροικίας τῶν τιμώντων σε.

Ἐν πελάγει τῶν θλίψεων, τῶν ἀρρωστημάτων ὑπάρχων σώματος
πρός λιμένα με καθόρμισον, τῆς ὑγείας μάρτυς ἀντιλήψει σου.

Νοητῶς ἀξιάγαστε, ἐκ τῶν ὑψωμάτωντῆς θείας δόξης σου
τούς ἐργάτας διαφύλαττε, ἐν τῇ Γερμανία ὡς φιλάγαθος.

Θεοτοκίον

Ἡλιόμορφον πέφηνε, ἐν τῇ Γερμανία τό σόν ἐκτύπωμα
Τριχεροῦσα τήν Ὀρθόδοξον,καταυγάζον ποίμνην καί παράταξιν.

## Ωδή Ε. Φώτισον ἡμᾶς

Φαῦσον ἀθλητά μεγαλώνυμε Γεώργιε
φρυκτωρίαις λογισμῶν τῶν ἀγαθῶν
τοῦ νοός μου τά ζοφώδη ἐννοήματα.

Ὕπερθεν ὕλῶν, δοξαρίου καί φαυλότητος
ἀθλοφόρε τούς ὑμνοῦντας σε πιστῶς
καθεκάστην εν τῷ οἴκω σου κατάστησον.

Λῦσιν ἐννοιῶν ἀπογνώσεως Γεώργιε
καί φοβίας τοῦ θανάτου τῆς δεινῆς
ἐπιτάχυνον ἐκ πάντων τῶν οἰκείων σου.

<u>Θεοτοκίον</u>

Ἄχραντε ἁγνή ἀπογνώσεως Γεώργιε
καί φοβίας τοῦ θανάτου τῆς δεινῆς
ἐπιτάχυνον ἐκ πάντων τῶν οἰκείων σου

## Ωδή Στ. Τήν δέησιν ἐκχεῶ

Τῷ πάθει ἐκμιμησάμενος πάθος τοῦ Δεσπότου ἀθλοφόρε Κυρίου
τούς αἰκισμούς, τόν τροχόν, μαστιγώσεις,
καί τήν ἀπότμησιν κάρας ὑπέμεινας,
καί ἀνελθών είς ούρανούς ὕπέρ πάντων πρεσβεύεις Γεώργιε.

Τήν ποίμνην τῶν Ορθοδόξων θεόφρον
ἐν τῇ χώρα τῶν Εθνῶν Γερμανίας
ἀδιαλείπτως σεπταῖς σου πρεσβείαις,
μή διαλίπης φυλάττων Γεώργιε
ἀπό ἐρίδων χαλεπῶν τήν εἰρήνην αὐτοῖς παρεχόμενος.

Εὐχαῖς σου πρός τόν Σωτῆρα τοῦ κόσμου
χαριτόβρυτε Γεώργιε μάρτυς
ἐν τῷ συνδέσμῳ Χριστοῦ τούς ἀνθρώπους
τούς συγκροτοῦντας τήν θείαν ἀγέλην σου
ἀναποσπάστως ἀθλητά ὡς ἀδελφούς κατά πνεῦμα συνένωσον.

<u>Θεοτοκίον</u>

Μαρία Ὑπεραγία Κυρία Τριχεροῦσα ἡ τοῦ ἄθωνος κλέος
καί ἐν τῷ οἴκω κλεινοῦ Γεωργίου
ἐν Γερμανία σεπτόν ἐγκαλλώπισμα
τούς μετά πίστεως πολλῆς ἀσπαζομένους εἰκόνα σου τείχισον.

Διάσωσον τροπαιοφόρε μεγαλομάρτυς Κυρίου
ἐκ πάσης βλάβης καί νόσων τούς δούλους σου
πρεσβείαις Γεώργιε καί λιταῖς σου.

| |
|---|
| ᾿Επίβλεψον ἐν εὐμενεία Πανύμνητε Τριχεροῦσα<br>ἐπί τόν λαόν τόν ἀπόδημον καί προστάτευσον<br>αὐτόν ἐκ κινδύνων τῶν ἀδοκήτων. |

Ηχος Β. Τοῖς τῶν αἱμάτων σου

Τά σιδηρά ὑποδήματα ἔφερες, μετά χαρᾶς ἀθλοφόρε Γεώργιε
ὕμνῶν τόν Σωτῆρα καί Κύριον
ὅν ταῖς λιταῖς σου ἀεί καθικέτευε, διδόναι ἡμῖν θεῖον ἔλεος.

Προκείμενον: Θαυμαστός ὁ Θεός έν τοῖς ἁγίοις αὐτοῦ

Τό Εὐαγγέλιον (Ιωαν.15:17-27, 16:1-2)

Δόξα.
Ταῖς τοῦ ἀθλοφόρου πρεσβείαις ἐλεῆμον
ἐξάλειψον τά πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Και νῦν. Ταῖς τῆς Θεοτόκου....

Προσόμοιον. Ολην ἀποθέμενοι

᾿Ελεῆμον, ἐλεησόν με ο Θεός....
῞Αγιε Γεώργιε Καππαδοκίας τό ἄνθος, έν ἀρχαίοις ἔτεσι
ὤφθης ὥσπερ ἥλιος τηλαυγέστατος,
ὅθεν νῦν φώτισον, ἐν τῇ Γερμανία τοῦ λαοῦ σου τά συστήματα
ἵνα φυλάττωσι πίστιν τήν πατρώαν καί δόγματα
τούς λύκους ἐκδιώκοντες τῶν ποικιλωνύμων αἱρέσεων
καί κτήσωσι βίον θεόφρον εὐπραγῆ καί εὐσταθῆ
κατά σκοπόν ἐφιέμενοι τῆς ψυχῆς τά πρόσφορα.

Σῶσον ὁ Θεός τόν λαόν σου...

Ωδή Ζ. Οι ἐκ τῆς Ιουδαίας

᾿Αεισέβαστε μάρτυς, τα τεράστια θαύματα καί σημεῖα σου,
Γεώργιε μνησθέντες, ἐξ ὅλης τῆς καρδίας σοῦ δεόμεθα πρόφθασον
ἐν Βαβυλῶνι᾿Εθνῶν ἡμᾶς ἐπιστηρῆξαι.

Τῶν πιστῶν προστασία, καταφύγιον μέγα καί παραμύθιον
Γεώργιε ὕπάρχων, ἀνδρείαν, σωφροσύνην, καί σαρκός καθαρότητα
ἱκετηρίαις ταῖς σαῖς, τοῖς φίλοις σου παράσχου.

Ριζοτόμησον πάντη, φιλαυτίας τό δέντρον ἐξ οὗ ἐκφύονται
ἐσμός φιλαργυρίας, τά πάθη ἀτιμίας, ἡδονῶν τά βλαστήματα
ἐκ τῆς καρδίας ἡμῶν Γεώργιε παμμάκαρ.

Θεοτοκίον

Ὑπουργήσασα μῆτερ τῶν βροτῶν σωτηρίαν τῷ θείῳ τόκῳ σου
ἀλγοῦσιν ἰατρείαν, πιστοῖς τήν σωτηρίαν τοῖς νοσοῦσιν τήν ἴασιν
καί πενομένοις χαράν διάδος Τριχεροῦσα.

## Ωδή Η. Τόν Βασιλέα

Γεγαυρωμένη ἐκ τῶν πολλῶν ἁμαρτάδων
ἡ καρδία μου Γεώργιε τυγχάνει
ὅθεν ταύτης μάρτυς ἀπόσμηξον τόν ρύπον.

Ἐκ τῶν ὀνύχων τῶν ἀπαλῶν τήν παιδείαν
διδαχθείς καί νουθεσίαν τοῦ Κυρίου
μή ἐλλίπης νέους φρουρῶν ἐν Γερμανία.

Σύ ὡς ἀλείπτης μεγαλομάρτυς τούς νέους
ἐν τῇ τρίβῳ τῶν ἐντολῶν τῶν σωτηρίων
ἴθυνον ὁδεύειν Γεώργιε ἐν πίστει.

Θεοτοκίον

Ὡς ο τελώνης πρό τῆς σεπτῆς σου εἰκόνος
ἀναπέμπομεν τούς λόγους ἱκεσίας
ἵνα λυτρωθῶμεν φλογός τῆς αἰωνίου.

## Ωδή Θ. Κυρίως Θεοτόκον

Ροαῖς τῶν σῶν αἱμάτων τῆς Καππαδοκίας,
μεγαλομάρτυς φοινῖξας τά χώματα
ἐν οὐρανοῖς ἠμφιάσω Χριστοῦ τό ἔνδυμα.

Γεώργιε παμμάκαρ ἐν τῇ Γερμανία,
ὁ γλυκασμός τῶν πενθούντων γενήθητι,
σὺ γάρ ὑπάρχεις τοῦ κόσμου χαρά εὐφρόσυνος.

Ἰλύος ἁμαρτάδων καί βυθοῦ πταισμάτων
καί πειρασμῶν ἀθλοφόρε Γεώργιε
τήν σκοτισθεῖσαν ψυχήν μου ταχύ ἀνέλκυσον.

Θεοτοκίον

Ἐλπίς ἁμαρτημάτων ἀσθενῶν συμμαχία,
στενομένων χαρά ἀναφαίρετος
ταῖς σαῖς πρεσβείαις Παρθένε άγία φάνηθι

## Αξιον εστί-Μεγαλυνάρια

Χαίροις τῶν μαρτύρων ἡ καλλονή ό χρόνοις ἀρχαίοις
τόν Θεάνθρωπον Ἰησοῦν ἐν πολλαῖς βασάνοις λαμπρῶν ὁμολογήσας

Γεώργιε θεόφρον ώς καρτερόψυχος.

Μάρτυς ἀξιάγαστε τόν τροχόν σώματος αἰκίαις
τῆς ἀσβέστου τόν ἐμπρησμόν, τῶν μαστίγων στίλεις
κατάτμησιν τῆς κάρας Γεώργιε τῇ χάριτι καθυπέμεινας.
* Ἴσχυνας τυράννων τάς ἀπειλάς καί τῆς ἀθείας ἐταπείνωσας τήν ὀφρύν
ταῖς σαῖς ἀνενδότοις ἐνστάσεσι καί τρόποις
καί εἴληφας τό στέφος Χριστοῦ Γεώργιε.

Τούς ἐν Γερμανία ὁμογενεῖς καί τούς Ὀρθοδόξους ἐκ ποικίλων φυλῶν
τῆς γῆς Γεώργιε μάρτυς μή παύση ταῖς λιταῖς σου
ἐν θλίψεσι στηρίζων καί περιστάσεων,

Ἅγιε Γεώργιε ἀθλητά ἐν τῇ Γερμανία τήν Ὀρθόδοξον τοῦ Χριστοῦ
χορείαν τε καί ποίμνην ἀπό τῆς γλωσσαλγίας
αἱρετικῶν ἀνθρώπων φύλαττε πάντοτε.

Ὅμιλον νεότητος εὐαγῆ Γεώργιε μάκαρ
ἐν τῇ χώρα τῇ Γοτθικῇ καί ἐργαζομένων
τήν πλήθουσαν ἀγέλην
κατεύθυνον βαδίζειν ὁδόν τῆς πίστεως.

Θεῖον ἐκμαγεῖον τῆς σῆς μορφῆς Τριχεροῦσα κόρη
ἐντῷ οἴκω τοῦ ἀθλητοῦ ἐν τῇ Γερμανία ἀπόκειται φωτῖζον
λαόν τῶν Ὀρθοδόξων αὐγαῖς τῆς χάριτος.

Πᾶσαι τῶν ἀγγέλων....
Τρισάγιον-Απολυτίκιον τοῦ ἁγίου

Ηχος Β  Οτε ἐκ τοῦ ξύλου σε

---

Μάρτυς ἀθλοφόρε τούς πιστούς, τούς προστρεχομένους ἐν πίστει
ἐν τῷ τεμένει σου, σῶζε ταῖς πρεσβείαις σου, ως ἑτοιμότατος,
ἀντιλήπτωρ Γεώργιε, ἐκ πάσης ἀνάγκης,
νόσων καί κακώσεων τῶν ἀοράτων ἐχθρῶν,
σύ γάρ Ορθοδόξων ἐν χώρα τῇ Γερμανικῇ ἀνεδείχθης
στήριγμα ἀκλόνητον Γεώργιε.

Δέσποινα πρόσδεξε....Τήν πᾶσαν ἐλπίδα μου